Ἀκολουθία τοῦ Ὄρθρου

τῇ Δευτέρᾳ τῆς 9ης Νοεμβρίου, 2026

τῇ Δευτέρᾳ τὸ Πρωΐ

Μηναῖον - ΤΗ Θ' ΝΟΕΜΒΡΙΟΥ

Μνήμη τῶν Ἁγίων Μαρτύρων Ὀνησιφόρου καὶ Πορφυρίου· τῆς Ὁσίας Μητρὸς ἡμῶν Ματρώνης

Ὡρολόγιον - Ἀπολυτίκια τῆς Ὅλης Ἑβδομάδος

Monday

...

Powered by Digital Chant Stand

A National Ministry of the Greek Orthodox Archdiocese of America

Sources

GOADEDES Greek Orthodox Archdiocese of America and Fr. Seraphim Dedes. AC Anthony Cook. AGH Fr. Andreas Houpos. GKD George K. Duvall. KW Metropolitan Kallistos Ware. NR Nicholas Roumas. RB Richard Barrett. JMB John Michael Boyer. SD Fr. Seraphim Dedes. TC Thomas Carroll. VPA Virgil Fr. Peter Andronache. GOA Greek Orthodox Archdiocese of America. HC Holy Cross Orthodox Press. MLGS Monastery of the Life-Giving Spring. OCA Orthodox Church in America.

NKJV Scripture taken from the New King James Version™. Copyright © 1982 by Thomas Nelson, Inc. Used by permission. All rights reserved.

RSV Revised Standard Version of the Bible, copyright © 1946, 1952, and 1971 National Council of the Churches of Christ in the United States of America. Used by permission. All rights reserved.

SAAS Scripture taken from the St. Athanasius Academy Septuagint™. Copyright © 2008 by St. Athanasius Academy of Orthodox Theology. Used by permission. All rights reserved.

The Service of Matins

on Monday, November 9, 2026

on Monday Morning

Menaion - November 9

Memory of the Holy Martyrs Onesiphorus and Porphyrios; our Devout Mother Matrona

Horologion - Apolytikia for Weekdays

Monday

...

Powered by Digital Chant Stand

A National Ministry of the Greek Orthodox Archdiocese of America

Sources

GOADEDES Greek Orthodox Archdiocese of America and Fr. Seraphim Dedes. AC Anthony Cook. AGH Fr. Andreas Houpos. GKD George K. Duvall. KW Metropolitan Kallistos Ware. NR Nicholas Roumas. RB Richard Barrett. JMB John Michael Boyer. SD Fr. Seraphim Dedes. TC Thomas Carroll. VPA Virgil Fr. Peter Andronache. GOA Greek Orthodox Archdiocese of America. HC Holy Cross Orthodox Press. MLGS Monastery of the Life-Giving Spring. OCA Orthodox Church in America.

NKJV Scripture taken from the New King James Version™. Copyright © 1982 by Thomas Nelson, Inc. Used by permission. All rights reserved.

RSV Revised Standard Version of the Bible, copyright © 1946, 1952, and 1971 National Council of the Churches of Christ in the United States of America. Used by permission. All rights reserved.

SAAS Scripture taken from the St. Athanasius Academy Septuagint™. Copyright © 2008 by St. Athanasius Academy of Orthodox Theology. Used by permission. All rights reserved.

Disclaimer

The translation, rubrics, Greek and English texts are for the purposes of worship only and are subject to change without notice at the discretion of the Greek Orthodox Archdiocese of America.

All rights reserved. The materials contained within this booklet remain the property of all contributing translators. It is published solely for the purpose of providing a source of worship materials to the parishes of the Orthodox Church and may be copied and otherwise reproduced as needed by the parish toward this end; however, it may not be reprinted, reproduced, transmitted, stored in a retrieval system, or translated into any language in any form by any means – electronic, mechanical, recording, or otherwise – for the purpose of sale without the express written permission of the Greek Orthodox Archdiocese of America.

GOA DCS Website

https://dcs.goarch.org

Email

dcsinfo@goarch.org

Fonts

Font copyright (c) 2010 Google Corporation with Reserved Font Arimo, Tinos and Cousine.

Copyright (c) 2012 Red Hat, Inc. with Reserved Font Name Liberation. This Font Software is licensed under the SIL Open Font License, Version 1.1.

Συμπλήρωμα Μηναίου - ΤΗ Θ' ΝΟΕΜΒΡΙΟΥ

Μνήμη τοῦ Ἁγίου Νεκταρίου Πενταπόλεως

ΟΡΘΡΟΣ

Χορός:

Ἦχος α'.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Disclaimer

The translation, rubrics, Greek and English texts are for the purposes of worship only and are subject to change without notice at the discretion of the Greek Orthodox Archdiocese of America.

All rights reserved. The materials contained within this booklet remain the property of all contributing translators. It is published solely for the purpose of providing a source of worship materials to the parishes of the Orthodox Church and may be copied and otherwise reproduced as needed by the parish toward this end; however, it may not be reprinted, reproduced, transmitted, stored in a retrieval system, or translated into any language in any form by any means – electronic, mechanical, recording, or otherwise – for the purpose of sale without the express written permission of the Greek Orthodox Archdiocese of America.

GOA DCS Website

https://dcs.goarch.org

Email

dcsinfo@goarch.org

Fonts

Font copyright (c) 2010 Google Corporation with Reserved Font Arimo, Tinos and Cousine.

Copyright (c) 2012 Red Hat, Inc. with Reserved Font Name Liberation. This Font Software is licensed under the SIL Open Font License, Version 1.1.

Menaion Supplement - November 9

Memory of St. Nektarios of Pentapolis

MATINS

Choir:

Mode Pl. 2

God is the Lord and hath appeared unto us. Blessed is He that cometh in the Name of the Lord.

Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.*

Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ'. *Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*

Verse 1. O give thanks unto the Lord and call upon His Holy Name.

Verse 2. All the nations compassed me round about, and by the Name of the Lord I warded them off.

Verse 3. This is the Lord's doing, and it is marvelous in our eyes.

ΑΠΟΛΥΤΙΚΙΟΝ.

Menaion Supplement - - -

Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

APOLYTIKION.

Menaion Supplement - - -

Mode 1. As a citizen of the desert.

Σηλυβρίας τὸν γόνον καὶ Αἰγίνης τὸν ἔφορον, τὸν ἐσχάτοις χρόνοις φανέντα, ἀρετῆς φίλον γνήσιον, Νεκτάριον τιμήσωμεν πιστοί, ὡς ἔνθεον θεράποντα Χριστοῦ· ἀναβλύζει γὰρ ἰάσεις παντοδαπάς, τοῖς εὐλαβῶς κραυγάζουσι· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

THE offspring of Selyvria and the guardian of Aegina, the true friend of virtue who didst appear in the last years, O Nectarius, we faithful honour thee as a godly servant of Christ, for thou pourest forth healings of every kind for those who piously cry out: Glory to Christ Who hath glorified thee. Glory to Him Who hath made thee wondrous. Glory to Him Who worketh healings for all through thee.

Δόξα. ΤΟ ΑΥΤΟ.

Σηλυβρίας τὸν γόνον καὶ Αἰγίνης τὸν ἔφορον, τὸν ἐσχάτοις χρόνοις φανέντα, ἀρετῆς φίλον γνήσιον, Νεκτάριον τιμήσωμεν πιστοί, ὡς ἔνθεον θεράποντα Χριστοῦ· ἀναβλύζει γὰρ ἰάσεις παντοδαπάς, τοῖς εὐλαβῶς κραυγάζουσι· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Glory. REPEAT.

THE offspring of Selyvria and the guardian of Aegina, the true friend of virtue who didst appear in the last years, O Nectarius, we faithful honour thee as a godly servant of Christ, for thou pourest forth healings of every kind for those who piously cry out: Glory to Christ Who hath glorified thee. Glory to Him Who hath made thee wondrous. Glory to Him Who worketh healings for all through thee.

Καὶ νῦν. ΘΕΟΤΟΚΙΟΝ. *Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.*

Both now. THEOTOKION. *Mode 1. The stone having been sealed/While Gabriel was saying.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

While Gabriel was saying Rejoice to thee, O Virgin, at his voice the Master of all things took flesh within thy pure womb. He dwelt in thee as His holy ark as spake the righteous David in the psalms. Thou wast seen to be more spacious than all the Heavens since thou didst bear thy Creator. Glory to Him that willed to dwell in thee. Glory to Him that came forth from thee. Glory to Him that, through thy giving birth, hath delivered us.

Ἱερεύς: Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Priest: Again and again in peace let us pray to the Lord.

Χορός: Κύριε, ἐλέησον.

Choir: Lord, have mercy.

Ἱερεύς: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Priest: Help us, save us, have mercy on us, and protect us, O God, by Thy grace.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Χορός: Σοί, Κύριε.

Ἱερεύς: Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

ΚΑΘΙΣΜΑ Α'.

Menaion Supplement - - -

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὡς ἥλιος λαμπρός, ἐν ἐσχάτοις τοῖς χρόνοις, ἀνέτειλας ἡμῖν, τῇ ὁσίᾳ ζωῇ σου, Νεκτάριε Ὅσιε, καὶ πρὸς δόξαν καὶ αἴνεσιν, πάντας ἤγειρας, Χριστοῦ τοῦ πάντων Δεσπότου, τοῦ σὲ δείξαντος, δεδοξασμένον σε Πάτερ, θαυμάτων δυνάμεσι.

Δόξα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ἰάσεις δαψιλεῖς, καθ' ἑκάστην ἡμέραν, πηγάζει θαυμαστῶς, θεϊκῇ χορηγίᾳ, ἡ πάντιμος κάρα σου, μυστικῶς κατευφραίνουσα, τῇ τοῦ Πνεύματος, μυρεψικῇ εὐωδίᾳ, τοὺς προστρέχοντας, μετ' εὐλαβείας καὶ πόθου, τῇ σῇ Μονῇ Ἅγιε.

Καὶ νῦν. ΘΕΟΤΟΚΙΟΝ. *Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.*

Αἱμάτων ἐξ ἀγνῶν, τὸν Δεσπότην τῶν ὅλων, τεκοῦσα καὶ ὃ ἦν, μὴ τραπέντα μηδόλως, παρθένος διέμεινας, μετὰ τόκον καὶ ἄφραστον· ὅθεν ἅπαντες, τὰ μεγαλεῖά σου Κόρη, μεγαλύνομεν, καὶ τῇ θερμῇ σου πρεσβείᾳ, σωθῆναι ἐλπίζομεν.

Choir: Lord, have mercy.

Priest: Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

Choir: To Thee, O Lord.

Priest: For Thine is the dominion, and Thine is the kingdom and the power and the glory, of the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

KATHISMA I.

Menaion Supplement - - -

Mode 1. The soldiers..

WITH thy most holy life, thou hast dawned forth upon us * in these last times, O Saint, like a sun bright with splendour, * arousing our hearts and minds to the glory and praise of Christ, * Who, when thou hadst glorified Him greatly upon earth, * glorified thee in return with might to work wonders, * O righteous Nectarius.

Glory. Mode 1. The soldiers..

THY precious head abundantly gusheth forth healings * each day by a divine and most wondrous bestowing, * and mystically doth it cheer with the Spirit's sweet fragrancy * all that come with longing and sincere faith and rev'rence * to the holy shrine of thy divinely- blest relics, * O Father Nectarius.

Both now. THEOTOKION. *Mode 1. The soldiers..*

O THOU who after childbearing still wast a virgin, * since thou hadst given birth to the Master of all things, * Who after His birth from thee was in no way changed from what He was: * We all magnify thy mighty deeds, O pure Lady, * and we firmly hope that through thy fervent entreaties * we all might be saved by thee.

ΚΑΘΙΣΜΑ Β'.

Menaion Supplement - - -

Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὴν καθαρότητα, τῆς πολιτείας σου, καὶ τὴν εὐθύτητα, Πάτερ τῶν τρόπων σου, ὡς προσφορὰν πνευματικήν, δεξάμενος ὁ Δεσπότης, ἰαμάτων κρήνην σε, ἐν Αἰγίνῃ ἀνέδειξε, τοῖς πιστῶς προστρέχουσι, τοῖς ἁγίοις λειψάνοις σου, τοῖς νέμουσιν ὁσμὴν οὐρανίαν, πᾶσι καὶ θείαν εὐωδίαν.

Δόξα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Καταπλήττει ἀληθῶς, τὰς διανοίας τῶν πιστῶν, ἡ δοθεῖσα σοι σοφέ, θαυμάτων χάρις ἐκ Θεοῦ, ἡ ἐν τοῖς θείοις λειψάνοις σου ἐνεργουμένη. Ὅθεν τῇ Μονῇ, τῇ σῇ συῤῥέουσι, πλήθη εὐσεβῶν ἐκ πάσης τάξεως, καὶ οἱ νοσοῦντες ὑγείαν λαμβάνουσι, τῇ ἀντιλήψει σου Ἅγιε, ἐν εὐφροσύνῃ, Χριστὸν ὑμνοῦντες, τὸν ἁγιάσαντά σε Ὅσιε.

Καὶ νῦν. ΘΕΟΤΟΚΙΟΝ. *Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.*

Ὁ τῶν ὅλων συνοχεύς, καὶ τῶν αἰώνων Ποιητής, συνεσχέθη ὑπὲρ νοῦν, ὅλος τῇ θείᾳ σου γαστρί, μὴ ἀποστὰς τῆς Πατρικῆς μονῆς Ἄχραντε, διπλοῦς δὲ ἐκ τῆς σῆς, μήτρας προέδραμεν, ἄνθρωπος ὁμοῦ, καὶ Θεὸς τέλειος, καὶ τοῦ Ἀδὰμ τὴν φύσιν ἐθέωσε, καὶ πάντα κόσμον διέσωσεν. Αὐτὸν δυσώπει, Θεογεννῆτορ, σωθῆναι τὰς ψυχάς ἡμῶν.

ΚΑΘΙΣΜΑ Γ'.

Menaion Supplement - - -

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ὀρθοδόξων δογμάτων ἑρμηνευτής, διδαχῶν θεοφθόγγων ὑφηγητής, δεικνύμενος Ὅσιε, Ἱεράρχης ὡς ἔνθεος, τῶν εὐσεβῶν ῥυθμίζεις, ἐνθέως τὸ φρόνημα, πρὸς θεϊκὴν ἀγάπην, καὶ τρίβον σωτήριον. Ὅθεν ἐν Αἰγίνῃ, θεοφρόνως ἐγείρεις, Μονὴν σεπτὴν Ὅσιε, εἰς ψυχῶν περιποίησιν, Θεοφόρε Νεκτάριε· ἐν ᾗ Μοναζουσῶν ἡ πληθύς, τὰ σεπτά σου προσκυνοῦσα λείψανα, εὐλαβῶς ἑορτάζει, τὴν ἁγίαν μνήμην σου.

KATHISMA II.

Menaion Supplement - - -

Mode 3. You were so beautiful.

THE Lord received thy prayers, thy pure and upright life, * as a well-pleasing and spiritual sacrifice * and showed thee forth as an unceasing fountain of wondrous healings * for all them that flee with faith * to thy relics, which grant to all * sweetest scents of sanctity* and the fragrance of Heaven's courts. * Remember us who laud thee, O Father, * Nectarius, equal of the ancients.

Glory. Mode 4. Joseph marveled.

THE great grace of miracles * that was bestowed on thee by God, * daily working wondrous signs * through thy blest relics for all men, * truly amazeth the minds of all faithful people. * From every state and rank, * believing multitudes * flock with fervent faith *unto thy holy shrine; * and by thy succour, all the ailing * receive their health, O Nectarius, * while singing praise unto Christ in gladness, * since He made thee so wondrous.

Both now. THEOTOKION. *Mode 4. Joseph marveled.*

HE that made the universe, * by Whom the ages came to be, * is contained within thy womb * completely and in very truth, * without forsaking equality with the Father. * As perfect God and man * He came forth from thy loins, * that He might restore, * renew, and deify * our father Adam's fallen nature, * saving the whole world once lost in sin. * Make prayer, O Lady, for our salvation, * as His virginal Mother.

KATHISMA III.

Menaion Supplement - - -

Mode pl. 4. By conceiving the Wisdom.

AN expounder of Orthodox piety, * an interpreter making known unto all * the doctrines and usages * that God gave to His holy Church, * thou didst set in good order the minds of all pious folk * and didst guide them aright to salvation through love of God. *Wherefore, thou didst raise up by divine inspiration * a convent of righteous nuns, * whom thou leddest to sanctity * through thy teachings and way of life. * And thou hast left thy body behind * as a source of comfort and unfailing cures * for. them that praise thee with longing, * O divine Nectarius.

Δόξα· ΚΑΙ ΝΥΝ. ΘΕΟΤΟΚΙΟΝ. *Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.*

Μανναδόχον σε στάμνον καὶ λογικήν, φωτοφόρον λυχνίαν καὶ θεαυγῆ, ὁ Θεῖος Νεκτάριος, ἐπιστάμενος Ἄχραντε, ταῖς σαῖς φωταγωγίαις, ψυχὴν καὶ διάνοιαν, ὡς ἀρετῆς ἐργάτης, ἀξίως πεφώτισται· ὅθεν σε παρθένον, ἐν ταὐτῷ καὶ Μητέρα, Χριστοῦ πανακήρατον, ὀρθοδόξως ἐκήρυξε, Θεοτόκε Πανύμνητε. Καὶ νῦν τῆς τοῦ Υἱοῦ σου Ἁγνή, ἀπολαύων ὑπὲρ νοῦν ἐλλάμψεως, σὺν Ἀγγέλοις δοξάζει, τὴν ἄῤῥητον δόξαν σου.

Ἱερεύς: Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Χορός: Σοί, Κύριε.

Ἱερεύς: Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

Χορός:

Ἀντίφωνον Α'. Ἦχος δ'.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. (δίς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Glory. Both now. THEOTOKION. *Mode pl. 4. By conceiving the Wisdom.*

SINCE Nectarius knew thee to be the urn * of the Manna from Heaven, O Bride of God, * the blazing and rational * lampstand bearing the Light of all, * he was justly enlightened in soul by thy shining beams * as a doer of virtue and worker of God's commands.* Therefore did he herald thee in Orthodox manner * to be the exceeding pure * Virgin Mother of Christ our God, * thou that hast borne the Angels' Lord. * And we, by him instructed aright, * also glorify thee as the Queen of all, * our Mediatress and shelter, *praying for us day and night.

Priest: Again and again in peace let us pray to the Lord.

Choir: Lord, have mercy.

Priest: Help us, save us, have mercy on us, and protect us, O God, by Thy grace.

Choir: Lord, have mercy.

Priest: Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

Choir: To Thee, O Lord.

Priest: For blessed is Thy name, and glorified is Thy kingdom, of the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

Choir:

Antiphon 1. Mode 4.

From my youth do many passions war against me; but do Thou Thyself defend and save me, O my Saviour. (2)

Ye haters of Sion shall be shamed by the Lord; for, like grass, by the fire shall ye be withered.

Glory.

In the Holy Spirit every soul is quickened and through cleansing is exalted and made radiant by the Triple Unity, in a hidden, sacred manner.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

ΠΡΟΚΕΙΜΕΝΟΝ.

ΨΑΛΜΟΙ 48, 131.

Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. (δίς)

Στίχ. *Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.*

Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Ὁ λαὸς ἵσταται διὰ τὴν ἀνάγνωσιν τοῦ Εὐαγγελίου.

Διάκονος: Τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

Ἦχος β'.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. (δίς) Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Διάκονος: Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Χορός: Κύριε, ἐλέησον. *(3)*

Διάκονος: Σοφία. Ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ἱερεύς: Εἰρήνη πᾶσι.

Χορός: Καὶ τῷ πνεύματί σου.

Ἱερεύς: Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Διάκονος: Πρόσχωμεν.

Χορός: Δόξα σοι, Κύριε, δόξα σοι.

Both now.

By the Holy Spirit, the streams of grace gush forth, watering all creation unto the begetting of life.

PROKEIMENON.

PSALMS 48, 131.

My mouth shall speak wisdom, and the meditation of my heart, understanding. (2)

Verse: *O Lord, Your priests shall clothe themselves in righteousness; Your saints shall greatly rejoice.*

My mouth shall speak wisdom, and the meditation of my heart, understanding.

Stand for the Gospel reading.

Deacon: No Entrance

Choir: Lord, have mercy.

Priest: For Thou, our God, are holy, and Thou rest among the Saints, and to Thee we offer up glory, to the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

Mode 2.

Let everything that breathes praise the Lord. (2) Let everything that breathes praise the Lord.

Deacon: Let us pray to the Lord our God that we may be found worthy to hear the holy Gospel.

Choir: Lord, have mercy. (3)

Deacon: Wisdom. Arise. Let us hear the holy Gospel.

Priest: Peace be with all.

Choir: And with your spirit.

Priest: The reading is from the holy Gospel according to Matthew.

Deacon: Let us be attentive.

Choir: Glory to Thee, O Lord, glory to Thee.

Ἱερεύς (ἀπὸ τῆς Ὡραίας πύλης):

Ματθ. 24:42 – 47

Εἶπεν ὁ Κύριος· Γρηγορεῖτε, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται. Ἐκεῖνο δὲ γινώσκετε ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ. διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας αὐτοῦ τοῦ διδόναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ; μακάριος ὁ δοῦλος ἐκεῖνος ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως. ἀμὴν λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν.

Χορός: Δόξα σοι, Κύριε, δόξα σοι.

Ἀναγνώστης:

ΨΑΛΜΟΣ Ν′ (50).

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Mt. 24:42 – 47

The Lord said, "Watch, for you do not know at what hour your Lord is coming. But know this, that if the householder had known in what part of the night the thief was coming, he would have watched and would not have let his house be broken into. Therefore you also must be ready; for the Son of man is coming at an hour you do not expect. Who then is the faithful and wise servant, whom his master has set over his household, to give them their food at the proper time? Blessed is that servant whom his master when he comes will find so doing. Truly, I say to you, he will set him over all his possessions."

Choir: Glory to Thee, O Lord, glory to Thee.

Reader:

PSALM 50 (51).

Have mercy upon me, O God, according to thy lovingkindness: according unto the multitude of thy tender mercies blot out my transgression. Wash me throughly from mine iniquity, and cleanse me from my sin. For I acknowledge my transgressions: and my sin is ever before me.Against thee, thee only, have I sinned, and done this evil in thy sight: that thou mightest be justified when thou speakest, and prevail when thou art judged. Behold, I was shapen in iniquity; and in sin did my mother conceive me. Behold, thou desirest truth in the inward parts: and in the hidden part thou shalt make me to know wisdom. Purge me with hyssop, and I shall be clean: wash me, and I shall be whiter than snow. Make me to hear joy and gladness; that the bones which thou hast humbled may rejoice. Hide thy face from my sins, and blot out all mine iniquities. Create in me a clean heart, O God; and renew a right spirit within me. Cast me not away from thy presence; and take not thy holy spirit from me. Restore unto me the joy of thy salvation; and uphold me with thy governing spirit. Then will I teach transgressors thy ways;

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Menaion Supplement - - -

Χορός:

Δόξα. Ἦχος β'.

Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

ΙΔΙΟΜΕΛΟΝ. *Ἦχος πλ. β'.*

Στίχ. *Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

Σήμερον ὁ Θεοφόρος Νεκτάριος, τὸ νέον τῆς Ἐκκλησίας ἀγλάϊσμα, τὸν τῆς ἀρετῆς περάνας δρόμον, τὴν πρὸς οὐρανὸν πορείαν ἐποιήσατο, καὶ ἐν ταῖς τῶν Ἁγίων λαμπρότησι σκηνώσας, ἀνακεκαλυμμένως τρυφᾷ, τοῦ ξύλου τῆς ζωῆς, τῆς μεγαλοπρεποῦς δόξης, τὰς ἐλλάμψεις δεχόμενος· ἡμῖν δὲ ἐξαιτεῖται, κινδύνων ἀπαλλαγήν, καὶ εἰρήνην σταθηράν, καὶ μέγα ἔλεος.

Ἱερεύς: Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια·

and sinners shall be converted unto thee. Deliver me from bloodguiltiness, O God, thou God of my salvation: and my tongue shall sing aloud of thy righteousness. O Lord, open thou my lips; and my mouth shall shew forth thy praise. For thou desirest not sacrifice; else would I give it: thou delightest not in burnt offering. The sacrifices of God are a broken spirit: a broken and a contrite heart, O God, thou wilt not despise. Do good in thy good pleasure unto Zion: build thou the walls of Jerusalem. Then shalt thou be pleased with the sacrifices of righteousness, with burnt offering and whole burnt offering: then shall they offer bullocks upon thine altar. And have mercy upon me, O God.

Menaion Supplement - - -

Glory. Mode 2.

At the intercession of Thy Hierarch, O Lord of mercy, blot out my many offenses.

Both now.

At the intercession of the Theotokos, O Lord of mercy, blot out my many offenses.

IDIOMELON. *Mode pl. 2.*

Verse: *Have mercy on me, O God, according to Your great mercy; and according to the abundance of Your compassion, blot out my transgression.*

ON this day the God-bearing Nectarius, the new adornment of the Church, who ran to the end the course of virtue, hath made his way unto Heaven. And having made his dwelling in the splendour of the Saints, he delighteth in the Tree of Life with face unveiled, receiving the illumination of that majestic glory; and for us he asketh for deliverance from perils, for enduring peace, and great mercy.

Priest: O God, save Your people and bless Your inheritance. Look upon Your world with mercy and compassion. Exalt the horn of Orthodox Christians, and send down upon us Your rich mercies:

πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἐν ἁγίοις πατέρων ἡμῶν μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ ἐν Μύροις καὶ Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ τροπαιοφόρου, Δημητρίου τοῦ μυροβλήτου, Θεοδώρου τοῦ τήρωνος, Θεοδώρου τοῦ στρατηλάτου, Μηνᾶ τοῦ θαυματουργοῦ· τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου, τῆς ἁγίας ἐνδόξου μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας· τῶν ἁγίων ἐνδόξων μαρτύρων Θέκλας, Βαρβάρας, Ἀναστασίας, Αἰκατερίνης, Κυριακῆς, Φωτεινῆς, Μαρίνης, Παρασκευῆς καὶ Εἰρήνης·

through the intercessions of our all-immaculate Lady Theotokos and ever-virgin Mary, by the power of the precious and life-giving Cross, the protection of the honorable, heavenly, bodiless powers, the supplications of the honorable, glorious prophet and forerunner John the Baptist, the holy, glorious, and praiseworthy apostles, our fathers among the saints, the great hierarchs and ecumenical teachers Basil the Great, Gregory the Theologian, and John Chrysostom; Athanasius, Cyril, and John the Merciful, patriarchs of Alexandria, Nicholas, bishop of Myra in Lycia, Spyridon, bishop of Trimythous, the wonderworkers; the holy, glorious, great martyrs George the triumphant, Demetrios the myrrh-streamer, Theodore the soldier, and Theodore the general; Menas the wonderworker; Charalampus and Eleutherius, the hieromartyrs; the holy, glorious, and victorious martyrs; the glorious great Martyr and all-laudable Euphemia;

τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· (τοῦ ἁγίου τοῦ ναοῦ)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νεκταρίου, Μητροπολίτου Πενταπόλεως, τοῦ Θαυματουργοῦ, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν· καὶ πάντων σου τῶν ἁγίων·

the holy and glorious Martyrs Thecla, Barbara, Anastasia, Catherine, Kyriaki, Photini, Marina, Paraskevi and Irene; our venerable and God-bearing fathers; (local patron saint); the holy and righteous ancestors of God Joachim and Anna; of our father among the saints Nektarios, Metropolitan of Pentapolis, the Wonderworker, whose memory we celebrate; and all Your saints:

ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

We beseech Thee, only merciful Lord, hear us sinners who pray to Thee and have mercy on us.

Χορός: Κύριε, ἐλέησον. *(ιβ')*

Choir: Lord, have mercy. (12)

Ἱερεύς: Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Priest: Through the mercy, compassion, and love for mankind of Thine only-begotten Son, with whom Thou art blessed, and Thine all-holy, good and life-creating Spirit, now and ever and to the ages of ages.

Χορός: Ἀμήν.

Choir: Amen.

Menaion Supplement - - -

Ἀναγνώστης:

KONTAKION.

Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Ὀρθοδοξίας τὸν ἀστέρα τὸν νεόφωτον, καὶ Ἐκκλησίας τὸ νεόδμητον προτείχισμα, ἀνυμνήσωμεν καρδίας ἐν εὐφροσύνῃ. Δοξασθεὶς γὰρ ἐνεργείᾳ τῇ τοῦ Πνεύματος, ἰαμάτων ἀναβλύζει χάριν ἄφθονον, τοῖς κραυγάζουσι· Χαίροις Πάτερ Νεκτάριε.

Ο ΟΙΚΟΣ.

Ἄνθρωπος οὐρανόφρων, ἀνεδείχθης ἐν κόσμῳ, Νεκτάριε Χριστοῦ Ἱεράρχα· ζωὴν γὰρ ὁσίαν διελθών, ἀκέραιος ὅσιος καὶ θεόληπτος, ἐν πᾶσιν ἐχρημάτισας· ἐντεῦθεν παρ' ἡμῶν ἀκούεις·

Χαῖρε δι' οὗ οἱ πιστοὶ ὑψοῦνται· χαῖρε δι' οὗ ἐχθροὶ θαμβοῦνται.

Χαῖρε τῶν ὁσίων Πατέρων ἐφάμιλλος· χαῖρε Ὀρθοδόξων ὁ θεῖος διδάσκαλος.

Χαῖρε οἶκος ἁγιώτατος ἐνεργείας θεϊκῆς· χαῖρε βίβλος θεοτύπωτος πολιτείας τῆς καινῆς.

Χαῖρε ὅτι ἀρτίως ἡμιλλήθης Ἁγίοις· χαῖρε ὅτι ἐμφρόνως ἐχωρίσθης τῆς ὕλης.

Χαῖρε λαμπρὸν τῆς πίστεως τρόπαιον· χαῖρε σεπτὸν τῆς χάριτος ὄργανον.

Χαῖρε δι' οὗ Ἐκκλησία χορεύει· χαῖρε δι' οὗ νῆσος Αἴγινα χαίρει.

Menaion Supplement - - -

Reader:

KONTAKION.

Mode pl. 4. O Champion General.

COME, let us laud Orthodoxy's newly-shining star * and the divine and newly-builded bulwark of the Church; * and in joyfulness of heart, let us sing his praises. * By the working of the Spirit was he glorified, * and doth pour forth the abundant grace of wondrous cures * upon them that cry: * Rejoice, O Father Nectarius.

OIKOS.

THOU wast shown to be a heavenly-minded man in the world, O Nectarius, Hierarch of Christ. For in leading a holy life, thou wast guileless, righteous and inspired by God in all things; hence, thou hearest these things from us:

Rejoice, thou through whom the faithful are exalted; rejoice, thou through whom the enemies are conquered.

Rejoice, thou equal of the righteous Fathers; rejoice, divine teacher of the right believers.

Rejoice, most holy house of the power of God; rejoice, divinely inscribed book of the new way of life.

Rejoice, for thou art become a peer of the Saints; rejoice, for thou didst wisely separate thyself from material things.

Rejoice, radiant trophy of the Faith; rejoice, august instrument of grace.

Rejoice, thou because of whom the Church danceth for joy; rejoice, thou because of whom the Island of Aegina rejoiceth.

ΧΑΙΡΟΙΣ ΠΑΤΕΡ ΝΕΚΤΑΡΙΕ.

Ὁ λαὸς ἵσταται διὰ τὴν ἀνάγνωσιν τοῦ Συναξαρίου.

ΣΥΝΑΞΑΡΙΟΝ

Τῇ Θ' τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νεκταρίου, Μητροπολίτου Πενταπόλεως τῆς ἐν Αἰγύπτῳ, τοῦ θαυματουργοῦ καὶ κτήτορος τῆς ἐν Αἰγίνῃ Ἱερᾶς Μονῆς τῆς Ἁγίας Τριάδος, κοιμηθέντος ὁσίως κατὰ τὸ ἔτος ,αϠκ'(1920).

Στίχοι

Νέκταρ τῆς ζωῆς τῆς αἰωνίου πίνων,

Νᾶμα, Νεκτάριε, ἰάσεων βλύζεις.

Ἀμφ' ἐνάτῃ Νεκταρίοιο ἐκ ῥεθέων θυμὸς ἤρθη.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων Μαρτύρων Ὀνησιφόρου καὶ Πορφυρίου.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Μητρὸς ἡμῶν Ματρώνης.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Θεοκτίστης τῆς Λεσβίας.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων γυναικῶν Εὐστολίας καὶ Σωπάτρας.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου Μάρτυρος Ἀντωνίου.*

Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι Μάρτυρες Χριστοφόρος καὶ Μαύρα ξίφει τελειοῦνται.

Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι Ναρσῆς καὶ Ἀρτέμων ξίφει τελειοῦνται.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Ἰωάννης ὁ Κολοβός, ἐν εἰρήνῃ τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Ἑλλάδιος ἐν εἰρήνῃ τελειοῦται.

Ὁ ὅσιος Πατὴρ ἡμῶν Συμεὼν ὁ Μεταφραστὴς ἐν εἰρήνῃ τελειοῦται.

Οἱ ὅσιοι καὶ θεοφόροι Πατέρες ἡμῶν Εὐθύμιος καὶ Νεόφυτος, οἱ κτήτορες τῆς σεβασμίας Μονῆς τοῦ Δοχειαρίου, ἐν εἰρήνῃ τελειοῦνται.

Ταῖς αὐτῶν πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

REJOICE, O FATHER NECTARIUS.

Stand for the reading of the Synaxarion.

SYNAXARION

On November 9, we commemorate our father among the saints Nektarios, Metropolitan of Pentapolis in Egypt, the Wonderworker and founder of the holy Monastery of Holy Trinity on Aegina, who reposed in holiness in the year 1920.

Verses

You drank the nectar of life eternal,

and pour out a river of cures, O Nektarios.

On the ninth, the soul of Nektarios left his body.

On this day we also commemorate the holy Martyrs Onesiphoros and Porphyrios.

On this day we also commemorate our devout mother Matrona.

On this day we also commemorate devout Saint Theoktiste of Lesbos.

On this day we also commemorate the holy women Efstolia and Sopatra.

On this day we also commemorate the holy Martyr Anthony.

On this day Saints Christopher and Maura died by the sword.

On this day we also commemorate the holy Martyrs Narses and Artemon.

On this day our devout father Saint John the Short died in peace.

On this day devout Saint Helladios died in peace.

Devout Saint Symeon Metaphrastes died in peace.

Our devout and God-bearing fathers Efthymios and Neophytos, the founders of the holy Monastery of Docheiariou on Mt. Athos, died in peace.

By their intercessions, Christ our God, have mercy on us and save us. Amen.

KATAVASIAS ODES 1-8

Χορός:

Ὠδὴ α'. Καταβασία. Ἦχος δ'.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὴν Εἴσοδον.

Ὠδὴ γ'. Καταβασία. Ἦχος δ'.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικόν, στερέωσον· κἂν τῇ σεπτῇ Εἰσόδῳ σου, στεφάνων δόξης ἀξίωσον.

Ὠδὴ δ'. Καταβασία. Ἦχος δ'.

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε'. Καταβασία. Ἦχος δ'.

Ἐξέστη τὰ σύμπαντα ἐν τῇ σεπτῇ Εἰσόδῳ σου· σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔνδον εἰσῆλθες ἐν τῷ ναῷ τοῦ Θεοῦ, ὥσπερ καθαρώτατος ναός, πᾶσι τοῖς ὑμνοῦσί σε, τὴν εἰρήνην βραβεύουσα.

Ὠδὴ Ϛ'. Καταβασία. Ἦχος δ'.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

Ὠδὴ ζ'. Καταβασία. Ἦχος δ'.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον. Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

KATAVASIAS ODES 1-8

Choir:

Ode i. Mode 4.

I shall open my mouth and the Spirit shall inspire it, and I shall utter the words of my song to the Queen and Mother; I shall be seen radiantly keeping feast and joyfully praising her Entry.

Ode iii. Mode 4.

Make steadfast, O holy Theotokos, thou living and never failing spring, all them that form a company and gather for to praise thy name; and on thine Entry's hallowed feast, deem them all worthy of glory's crown.

Ode iv. Mode 4.

When the Prophet Habbakkuk, O Thou Most High, learned of the divine and untraceable counsel of your pure incarnation from the womb of the blessed Virgin, he cried out: Glory to Thy power, O Lord my God.

Ode v. Mode 4.

All creatures were sore amazed at thine all sacred Entry, O pure Virgin, who hast not known wedlock; for thou didst Enter into the Temple of God since thou art a Temple wholly pure who doth grant peace unto all them that acclaim thy name.

Ode vi. Mode 4.

On this divine and most honoured feast of God's all holy Mother let all of godly mind now celebrate; come, let us faithful now clap our hands, and send up glory unto the God Whom she hath borne.

Ode vii. Mode 4.

No created thing, but only the Creator would the godly minded Youths adore and worship as God; but manfully trampling down threats of fire, they cried out: O supremely praised and all acclaimed One, blest art Thou, O Thou Lord God of our Fathers.

Ὠδὴ η'. Καταβασία. Ἦχος δ'.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ λαὸς ἵσταται διὰ τὴν Θ' Ὠδήν.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Ὠδὴ ϑ'.

ΜΕΓΑΛΥΝΑΡΙΟΝ.

Ἦχος δ'.

Στίχ. *Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδού γάρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καί το ἔλεος αὐτοῦ εἰς γενεάν, καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ode viii. Mode 4.

We praise and we bless and we worship the Lord.

Three guiltless Youths cast in the furnace were saved by the Offspring which the Theotokos bare, then in figure and in type, now in very truth and deed; and He hath gathered all the world, which crieth out in chant: Ye works of His, O sing the Lord's praises, and exalt Him greatly for ages and all ages.

Stand for the singing of Ode ix.

Let us honor and magnify in song the Theotokos and the Mother of the light.

Ode ix.

THE MAGNIFICAT.

Mode 4.

Verse: *My soul magnifies the Lord, and my spirit has rejoiced in God my Savior.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Verse: *For He has regarded the lowly state of His maidservant; for behold, henceforth all generations will call me blessed.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Verse: *For He who is mighty has done great things for me, and holy is His name. And His mercy is on those who fear Him from generation to generation.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Verse: *He has shown strength with His arm; He has scattered the proud in the imagination of their hearts.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Στίχ. *Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς Πατέρας ἡμῶν, τῷ Ἀβραάμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ὠδὴ θ'. Καταβασία. Ἦχος δ'.

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὰ ἱερὰ Εἰσόδια τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε Ἁγνὴ ἀειπάρθενε.

Ἱερεύς: Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Χορός: Σοί, Κύριε.

Ἱερεύς: Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

Verse: *He has put down the mighty from their thrones, and exalted the lowly. He has filled the hungry with good things, and the rich He has sent away empty.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Verse: *He has helped His servant Israel, in remembrance of His mercy, as He spoke to our fathers, to Abraham and to his seed forever.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Ode ix. Mode 4.

Let every earthborn man upleap in the spirit, and now hold his torch on high; and let all the bodiless, noetic hosts now celebrate joyously the Theotokos's sublime and sacred Entry, as they cry out: Rejoice, O thou all blessed one, ever virgin and pure Mother of our God.

Priest: Again and again in peace let us pray to the Lord.

Choir: Lord, have mercy.

Priest: Help us, save us, have mercy on us, and protect us, O God, by Thy grace.

Choir: Lord, have mercy.

Priest: Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

Choir: To Thee, O Lord.

Priest: For all the powers of heaven praise Thee, and to Thee they offer up glory, to the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ.

Menaion Supplement - - -

Ἦχος γ'. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἡ Ἐκκλησία ἀγάλλου, καὶ ᾄδε ᾄσματα καινά, τὸν σὸν υἱὸν εὐφημοῦσα καὶ ἱερὸν νυμφαγωγόν, Νεκτάριον τὸν ἀρτίως, ἡγιασμένον φανέντα.

ΕΤΕΡΟΝ. *Ἦχος γ'. Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Θεοπρεπῶς βιώσας, ἐμεγαλύνθης θαυμαστῶς, Νεκτάριε Ἱεράρχα, παρὰ τοῦ πάντων Ποιητοῦ· πηγὴ θαυμάτων γὰρ ὤφθη, ἡ τῶν λειψάνων σου θήκη.

ΘΕΟΤΟΚΙΟΝ. *Ἦχος γ'. Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Θεοχαρίτωτε Κόρη, ἱκέτευε διὰ παντός, τὸν σὸν Υἱὸν καὶ Δεσπότην, καὶ πολυεύσπλαγχνον Θεόν, πάσης ἀνάγκης, τοὺς εὐσεβεῖς Θεοτόκε.

ΟΙ ΑΙΝΟΙ.

Ἦχος α'.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου.

Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

EXAPOSTEILARION.

Menaion Supplement - - -

Mode 3. Having embellished heaven.

LEAP up in joy and gladness, * sing a new song, O Church of Christ, * to laud thy ven'rable bridesman, * thy worthy son, Nectarius,* the newly manifest daystar * shining with healings and marvels.

ANOTHER. *Mode 3. Having embellished heaven.*

LEADING a life most godly, * wondrously wast thou magnified * by the Creator of all things, * O wise high priest, Nectarius; * for at the shrine of thy relics * is worked all manner of wonders.

THEOTOKION. *Mode 3. Having embellished heaven.*

O VIRGIN Theotokos, * do thou unceasingly entreat * thy Son, the Master Almighty, * the God Whose mercy hath no end, * that all the pious be rescued * from every need and affliction.

LAUDS.

Mode 1.

Let every breath praise the Lord. Praise the Lord from the Heavens, praise Him in the highest. To Thee is due praise, O God.

Praise Him, all ye His angels; praise Him, all ye His hosts. To Thee is due praise, O God.

Praise Him, O sun and moon; praise Him, all ye stars and light.

Praise Him, ye heavens of heavens, and thou water that art above the heavens. Let them praise the Name of the Lord;

For He spake, and they came to be; He commanded, and they were created.

He established them for ever, yea, for ever and ever; He hath set an ordinance, and it shall not pass away.

Praise the Lord from the earth, ye dragons, and all ye abysses.

Fire, hail, snow, ice, blast of tempest, which perform His word,

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων· αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ. καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ οἱ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

The mountains and all the hills, fruitful trees, and all cedars,

The beasts and all the cattle, creeping things and winged birds.

Kings of the earth, and all peoples, princes and all judges of the earth,

Young men and virgins, elders with the younger; let them praise the Name of the Lord, for exalted is the Name of Him alone.

His praise is above the earth and heaven, and He shall exalt the horn of his people.

This is the hymn for all His saints, for the sons of Israel, and for the people that draw nigh unto Him.

Sing unto the Lord a new song; His praise is in the church of the saints.

Let Israel be glad in Him that made him, let the sons of Sion rejoice in their King.

Let them praise His Name in the dance; with the timbrel and psaltery let them chant unto Him.

For the Lord taketh pleasure in His people, and He shall exalt the meek with salvation.

The saints shall boast in glory, and they shall rejoice upon their beds.

The high praise of God shall be in their throat, and two edged swords shall be in their hands.

To do vengeance among the heathen, punishments among the peoples.

To bind their kings with fetters, and their nobles with manacles of iron.

To fulfill among them the written judgment: this glory have all His holy ones.

Praise God in His saints; praise Him in the firmament of His power.

ΣΤΙΧΗΡΑ. ΤΟΥ ΑΓΙΟΥ.

Menaion Supplement - - -

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἀσματικῶς συνελθόντες πανηγυρίσωμεν, τὴν μνήμην τὴν ἁγίαν, Νεκταρίου τοῦ Θείου, τοῦ ἄρτι δοξασθέντος παρὰ Χριστοῦ, τῇ τοῦ βίου λαμπρότητι, τῶν ἰαμάτων ταῖς χάρισι θαυμαστῶς, εὐσεβῶν εἰς περιποίησιν.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ἡ τῶν λειψάνων σου θήκη Πάτερ Νεκτάριε, ὡς ἄλλη καθορᾶται, Σιλωὰμ κολυμβήθρα· νοσήματα γὰρ παύει τὰ χαλεπά, καὶ ὑγείαν καὶ λύτρωσιν, τοῖς πρὸς αὐτὴν προσιοῦσι νέμει ἀεί, ἐνεργείᾳ τῇ τοῦ Πνεύματος.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Τίς ἐπαξίως ὑμνήσει τὰς δυναστείας σου, ὦ Ζωοδότα Σῶτερ; ὅτι δέδωκας ἤδη, στῦλον καὶ ἑδραίωμα ἀῤῥαγές, τῇ σεπτῇ Ἐκκλησίᾳ σου, τὸν θεηγόρον Νεκτάριον ἀληθῶς, τὸν ὁσίως σοι λατρεύσαντα.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ὑπὲρ ὁσμὴν ἀγροῦ πλήρους κατὰ τὴν θείαν φωνήν, ἡ εὐωδία πέλει τῶν σεπτῶν σου λειψάνων, Νεκτάριε τρισμάκαρ τῶν εὐσεβῶν, τὰς αἰσθήσεις εὐφραίνουσα· ὅθεν ἡ Αἴγινα βλέπουσα τὴν ἐν σοί, θείαν χάριν μακαρίζει σε.

STICHERA. FOR THE SAINT.

Menaion Supplement - - -

Mode 1. For all the powers of heaven.

Praise Him for His mighty acts; praise Him according to His excellent greatness.

COME, let us gather in joy and with songs keep festival * on the divine remembrance of the merciful hierarch, * Nectarius, now glorified greatly by Christ * for his radiant way of life * with gifts of marvellous healings and awesome signs * for the succour of all pious folk.

Praise Him with the sound of the trumpet; praise Him with the psaltery and harp.

THY reliquary is as a new Pool of Siloam, * ending most grievous sickness and for ever bestowing * health and swift deliv'rance from every distress * by the All-holy Spirit's might * for them that draw nigh with faith in thy sanctity, * O illustrious Nectarius.

Praise Him with the timbrel and dance; praise Him with stringed instruments and organs.

WHAT man can worthily praise Thee for Thy most mighty works, * O life-bestowing Saviour? Who hast even now given * a ground and indestructible pillar of faith * to Thy Church and Thy little flock, * the God-proclaiming Nectarius, who in truth * served and worshipped Thee in righteousness.

Praise Him with resounding cymbals; praise Him with triumphant cymbals; let everything that breathes praise the Lord.

MORE than a flowering meadow, thy holy relics give forth * a sweet and cheering fragrance that delighteth the senses * of thy pious servants that come to thy shrine, * O thrice-blessed Nectarius; * wherefore, thy convent and island, and all the Church * praise the grace that God hath given thee.

Δόξα.

Menaion Supplement - - -

Ἦχος πλ. α'.

Ὅσιε Πάτερ, μελέτην θείου νόμου, τὸν βίον ποιούμενος, τῶν πάλαι Ἁγίων, τὴν ζωὴν ἐχαρακτήρισας· τὸ γὰρ φρόνημα τῆς σαρκός, ὑποτάξας τῷ πνεύματι, χρηστότητα ἐποίησας, καὶ ὁσιότητα ἠμφιάσω, ὡς Ἱεράρχης θεόσοφος, καὶ τῆς ἀρετῆς ἀληθὴς ἐργάτης· ὅθεν λαμπρῶς παρὰ Θεοῦ ἐδοξάσθης, καὶ ἰαμάτων κρήνη, ἡ τῶν λειψάνων σου σορὸς ἐδείχθη, τῇ τοῦ Παρακλήτου ἐπισκιάσει. Ἀλλ' ὦ Νεκτάριε μακάριε, ῥᾶνον ἐν ταῖς ψυχαῖς ἡμῶν, τὸ νέκταρ τῆς σῆς χάριτος, καὶ πρέσβευε τῷ Κυρίῳ, δοθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Glory.

Menaion Supplement - - -

Both Now Same Mode

O RIGHTEOUS Father, thou didst make thy life a study of God's Law, taking as a pattern the lives of the Saints of old. For having subjected the carnal mind to the spirit, thou didst work kindness for all, and didst put on holiness as a divinely-wise hierarch and a true worker of virtue. Wherefore, thou hast been illustriously glorified by God, and the shrine of thy relics is shown to be a fountain of healings by the overshadowing of the Comforter. Even now, O blessed Nectarius, sprinkle in our souls the nectar of thy grace, and intercede with the Lord that we be granted great mercy.

Καὶ νῦν. ΘΕΟΤΟΚΙΟΝ. *Ἦχος πλ. α'.*

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος, τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

Both now. THEOTOKION. *Both Now Same Mode*

WE the faithful bless thee, O Virgin Theotokos, and we glorify thee, as is meet and proper: O unshaken city, impregnable battlement, invincible protection, and sheltering refuge of our souls.

Ὁ λαὸς ἵσταται διὰ τὴν Μ. Δοξολογίαν.

Stand for the Great Doxology.

Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

GREAT DOXOLOGY

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Glory be to Thee Who hast shown the light. Glory in the highest to God, and on earth peace, good will among men.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

We praise Thee; we bless Thee; we worship Thee; we glorify Thee; we give thanks to Thee for Thy great glory.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

O Lord, King, heavenly God, the Father Almighty, O Lord the only begotten Son, Jesus Christ, and the Holy Spirit.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

O Lord, God, Lamb of God, Son of the Father, Who takest away the sin of the world: have mercy on us, Thou Who takest away the sins of the world.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Receive our prayer, Thou Who sittest at the right hand of the Father; and have mercy on us.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

For Thou alone art holy; Thou alone art Lord, Jesus Christ, to the glory of God the Father. Amen.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Every day will I bless Thee, and I will praise Thy name forever and unto the ages of ages.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. *(3)*

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

ΑΠΟΛΥΤΙΚΙΟΝ.

Menaion Supplement - - -

Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Σηλυβρίας τὸν γόνον καὶ Αἰγίνης τὸν ἔφορον, τὸν ἐσχάτοις χρόνοις φανέντα, ἀρετῆς φίλον γνήσιον, Νεκτάριον τιμήσωμεν πιστοί, ὡς ἔνθεον θεράποντα Χριστοῦ· ἀναβλύζει γὰρ ἰάσεις παντοδαπάς, τοῖς εὐλαβῶς κραυγάζουσι· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Vouchsafe, O Lord, to keep us this day without sin.

Blessed art Thou, O Lord, the God of our Fathers, and praised and glorified is Thy name unto the ages. Amen.

Let Thy mercy, O Lord, be upon us, even as we have hoped in Thee.

Blessed art Thou, O Lord, teach me Thy statutes.

Blessed art Thou, O Lord, teach me Thy statutes.

Blessed art Thou, O Lord, teach me Thy statutes.

Lord, Thou hast been our refuge from generation to generation. I said: O Lord, have mercy on me; heal my soul, for I have sinned against Thee.

O Lord, to Thee have I fled for refuge; teach me to do Thy will, for Thou art my God.

For in Thee is the fountain of life; in Thy light we shall see light.

Continue Thy mercy unto those who know Thee.

Holy God, holy Mighty, holy Immortal, have mercy on us. (3)

Glory to the Father and the Son and the Holy Spirit.

Both now and ever and to the ages of ages. Amen.

Holy Immortal, have mercy on us.

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.

APOLYTIKION.

Menaion Supplement - - -

Mode 1. As a citizen of the desert.

THE offspring of Selyvria and the guardian of Aegina, the true friend of virtue who didst appear in the last years, O Nectarius, we faithful honour thee as a godly servant of Christ, for thou pourest forth healings of every kind for those who piously cry out: Glory to Christ Who hath glorified thee. Glory to Him Who hath made thee wondrous. Glory to Him Who worketh healings for all through thee.